διδάσκαλος ἐκεῖνος καὶ ἐραστὴς τὸ γένος Τυανεύς, τῶν Ἀπολ-
λωνίῳ τῷ Τυανεῖ <τῷ> πάνυ συγγενομένων καὶ τὴν πᾶσαν αὐτοῦ
τραγῳδίαν εἰδότων. ὁρᾷς ἐξ οἵας σοι διατριβῆς ἄνθρωπον λέγω.

6 Ἤδη δὲ πώγωνος ὁ Ἀλέξανδρος πιμπλάμενος καὶ τοῦ Τυα-
νέως ἐκείνου ἀποθανόντος ἐν ἀπορίᾳ καθεστώς, ἀπηνθηκυίας
ἅμα τῆς ὥρας, ἀφ᾽ ἧς τρέφεσθαι ἐδύνατο, οὐκέτι μικρὸν οὐδὲν
ἐπενόει, ἀλλὰ κοινωνήσας Βυζαντίῳ τινὶ χορογράφῳ τῶν
καθιέντων ἐς τοὺς ἀγῶνας, πολὺ καταρατοτέρῳ τὴν φύσιν—
Κοκκωνᾶς δέ, οἶμαι, ἐπεκαλεῖτο—περιῄεσαν γοητεύοντες καὶ
μαγγανεύοντες καὶ τοὺς παχεῖς τῶν ἀνθρώπων—οὕτως γὰρ αὐτοὶ
τῇ πατρίῳ τῶν μάγων φωνῇ τοὺς πολλοὺς ὀνομάζουσιν—ἀπο-
κείροντες. ἐν δὴ τούτοις καὶ Μακέτιν γυναῖκα πλουσίαν, ἔξωρον
μέν, ἐράσμιον δὲ ἔτι εἶναι βουλομένην, ἐξευρόντες ἐπεσιτίσαντό τε
τὰ ἀρκοῦντα παρ᾽ αὐτῆς καὶ ἠκολούθησαν ἐκ τῆς Βιθυνίας εἰς
τὴν Μακεδονίαν. Πελλαία δὲ ἦν ἐκείνη, πάλαι μὲν εὐδαίμονος
χωρίου κατὰ τοὺς τῶν Μακεδόνων βασιλέας, νῦν δὲ ταπεινοῦ καὶ
7 ὀλιγίστους οἰκήτορας ἔχοντος. ἐνταῦθα ἰδόντες δράκοντας παμ-
μεγέθεις, ἡμέρους πάνυ καὶ τιθασούς, ὡς καὶ ὑπὸ γυναικῶν
τρέφεσθαι καὶ παιδίοις συγκαθεύδειν καὶ πατουμένους ἀνέχεσθαι
καὶ θλιβομένους μὴ ἀγανακτεῖν καὶ γάλα πίνειν ἀπὸ θηλῆς κατὰ
ταὐτὰ τοῖς βρέφεσιν—πολλοὶ δὲ γίγνονται παρ᾽ αὐτοῖς τοιοῦτοι,
ὅθεν καὶ τὸν περὶ τῆς Ὀλυμπιάδος μῦθον διαφοιτῆσαι πάλαι
εἰκός, ὁπότε ἐκύει τὸν Ἀλέξανδρον, δράκοντός τινος, οἶμαι,
τοιούτου συγκαθεύδοντος αὐτῇ—ὠνοῦνται τῶν ἑρπετῶν ἓν κάλ-
8 λιστον ὀλίγων ὀβολῶν. καὶ κατὰ τὸν Θουκυδίδην ἄρχεται ὁ πόλε-
μος ἐνθένδε ἤδη.

Ὡς γὰρ ἂν δύο κάκιστοι καὶ μεγαλότολμοι καὶ πρὸς τὸ κακουργεῖν προχειρότατοι εἰς τὸ αὐτὸ συνελθόντες, ῥᾳδίως κατενόησαν



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416025234/344 UNIVERSITÄT LEIPZIG